καθ' ἑαυτὸν ἐλάλει, καλῶς εἴρηται, καὶ οὐδὲν αὐτῷ λείπει. ὁ δὲ δίχα προφάσεως τὸν δοῦλον θέλει τύψαι, τί πρὸς ἐμέ. δαρέντος δὲ τοῦ δούλου καὶ τοῦ ξένου σιωπῶντος, ὁ ξάνθος ἠδολέσχει. μετὰ δὲ μικρόν, προσηνέχθη πλακοῦς. ὁ οὖν ξένος μηδέπω ἰδών, ἤρξατο ψωμοὺς πιεῖν ὡς πλίνθους καὶ ἐσθίειν. ἰδὼν δὲ αὐτὸν ὁ ξάνθος οὕτως ἡδέως τρώγοντα ἀνέκραγε, τὸν ἀρτοκόπον μοι τὶς καλεσάτω, καὶ λέγει, διατί κατάρατε ὁ πλακοῦς οὔτε μέλι οὔτε πέπερι ἔχει, ἀλλὰ καὶ οὐκ ἔζησεν. ὁ δὲ ἔφη, εἰ ὠμός ἐστιν ὁ πλακοῦς, ἐμὲ δαῖρε. εἰ δὲ οὐ καλῶς ἥψηται, τοῦτο οὐκ ἐμὸν τὸ αἴτιον, ἀλλὰ τῆς κυρίας, βραδυνάσης δοῦναι τὴν ἄρτυσιν. ὁ δὲ ξάνθος ἔφη, εἰ παρὰ τῆς γυναικός μου ἀμέλεια γέγονε, ζῶσαν αὐτὴν κατακαύσω. τῇ δὲ γυναικὶ ἔφη, συνυποκρίθητί μοι ὅπως τυφθῇ ὁ αἴσωπος.